# Πρὸς Φιλιππησίους

Παῦλος καὶ Τιμόθεος,[1] δοῦλοι Ἰησοῦ χριστοῦ, πᾶσιν τοῖς ἁγίοις ἐν 1
χριστῷ Ἰησοῦ τοῖς οὖσιν ἐν Φιλίπποις,[2] σὺν ἐπισκόποις[3] καὶ
διακόνοις: χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου 2
Ἰησοῦ χριστοῦ.

Εὐχαριστῶ τῷ θεῷ μου ἐπὶ πάσῃ τῇ μνείᾳ[4] ὑμῶν, πάντοτε ἐν πάσῃ 3
δεήσει[5] μου ὑπὲρ πάντων ὑμῶν μετὰ χαρᾶς τὴν δέησιν[5] ποιούμενος, 5
ἐπὶ τῇ κοινωνίᾳ[6] ὑμῶν εἰς τὸ εὐαγγέλιον, ἀπὸ πρώτης ἡμέρας ἄχρι
τοῦ νῦν: πεποιθὼς αὐτὸ τοῦτο, ὅτι ὁ ἐναρξάμενος[7] ἐν ὑμῖν ἔργον 6
ἀγαθὸν ἐπιτελέσει[8] ἄχρι ἡμέρας χριστοῦ Ἰησοῦ: καθώς ἐστιν δίκαιον 7
ἐμοὶ τοῦτο φρονεῖν[9] ὑπὲρ πάντων ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ
ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς[10] μου καὶ ἐν τῇ ἀπολογίᾳ[11] καὶ βεβαιώσει[12]
τοῦ εὐαγγελίου, συγκοινωνούς[13] μου τῆς χάριτος πάντας ὑμᾶς ὄντας.
Μάρτυς γάρ μού ἐστιν ὁ θεός, ὡς ἐπιποθῶ[14] πάντας ὑμᾶς ἐν 8
σπλάγχνοις[15] Ἰησοῦ χριστοῦ. Καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη 9
ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει[16] καὶ πάσῃ
αἰσθήσει,[17] εἰς τὸ δοκιμάζειν[18] ὑμᾶς τὰ διαφέροντα,[19] ἵνα ἦτε 10
εἰλικρινεῖς[20] καὶ ἀπρόσκοποι[21] εἰς ἡμέραν χριστοῦ, πεπληρωμένοι 11

[1] Τιμόθεος, ου, ὁ, Timothy. [2] Φίλιπποι, ων, ὁ, Philippi. [3] ἐπίσκοπος, ου, ὁ, superintendent, overseer. [4] μνεία, ας, ἡ, remembrance, mention. [5] δέησις, εως, ἡ, entreaty, prayer. [6] κοινωνία, ας, ἡ, fellowship, contribution. [7] ἐνάρχομαι, begin. [8] ἐπιτελέω, complete, perform. [9] φρονέω, think, judge. [10] δεσμός, οῦ, ὁ, chain, bond. [11] ἀπολογία, ας, ἡ, speech in defense, verbal defense. [12] βεβαίωσις, εως, ἡ, confirmation, ratification. [13] συγκοινωνός, οῦ, ὁ, partaker, participant. [14] ἐπιποθέω, long for, strain after. [15] σπλάγχνα, ων, τά, bowels, compassion. [16] ἐπίγνωσις, εως, ἡ, knowledge, discernment. [17] αἴσθησις, εως, ἡ, perception, discernment. [18] δοκιμάζω, prove, approve. [19] διαφέρω, differ, carry through. [20] εἰλικρινής, pure, sincere. [21] ἀπρόσκοπος, blameless, giving no offense.

καρπῶν δικαιοσύνης τῶν διὰ Ἰησοῦ χριστοῦ, εἰς δόξαν καὶ ἔπαινον[1]
θεοῦ.

Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί, ὅτι τὰ κατʼ ἐμὲ μᾶλλον εἰς 12
προκοπὴν[2] τοῦ εὐαγγελίου ἐλήλυθεν· ὥστε τοὺς δεσμούς[3] μου 13
φανεροὺς[4] ἐν χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ[5] καὶ τοῖς λοιποῖς
πᾶσιν, καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν κυρίῳ, πεποιθότας τοῖς 14
δεσμοῖς[3] μου, περισσοτέρως[6] τολμᾷν[7] ἀφόβως[8] τὸν λόγον λαλεῖν. 15
Τινὲς μὲν καὶ διὰ φθόνον[9] καὶ ἔριν,[10] τινὲς δὲ καὶ διʼ εὐδοκίαν[11] τὸν
χριστὸν κηρύσσουσιν· οἱ μὲν ἐξ ἐριθείας[12] τὸν χριστὸν 16
καταγγέλλουσιν,[13] οὐχ ἁγνῶς,[14] οἰόμενοι[15] θλῖψιν ἐπιφέρειν[16] τοῖς
δεσμοῖς[3] μου· οἱ δὲ ἐξ ἀγάπης, εἰδότες ὅτι εἰς ἀπολογίαν[17] τοῦ 17
εὐαγγελίου κεῖμαι.[18] Τί γάρ; Πλὴν παντὶ τρόπῳ,[19] εἴτε προφάσει[20] 18
εἴτε ἀληθείᾳ, χριστὸς καταγγέλλεται·[13] καὶ ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ
χαρήσομαι. Οἶδα γὰρ ὅτι τοῦτό μοι ἀποβήσεται[21] εἰς σωτηρίαν διὰ 19
τῆς ὑμῶν δεήσεως,[22] καὶ ἐπιχορηγίας[23] τοῦ πνεύματος Ἰησοῦ χριστοῦ,
κατὰ τὴν ἀποκαραδοκίαν[24] καὶ ἐλπίδα μου, ὅτι ἐν οὐδενὶ 20
αἰσχυνθήσομαι,[25] ἀλλʼ ἐν πάσῃ παρρησίᾳ, ὡς πάντοτε, καὶ νῦν
μεγαλυνθήσεται[26] χριστὸς ἐν τῷ σώματί μου, εἴτε διὰ ζωῆς εἴτε διὰ
θανάτου. Ἐμοὶ γὰρ τὸ ζῆν, χριστός· καὶ τὸ ἀποθανεῖν, κέρδος.[27] Εἰ δὲ 21

[1] ἔπαινος, ου, ὁ, praise, commendation. [2] προκοπή, ῆς, ἡ, progress, advancement. [3] δεσμός, οῦ, ὁ, chain, bond. [4] φανερός, manifest, apparent. [5] πραιτώριον, ου, τό, palace (of the governor). [6] περισσῶς, abundantly, exceedingly. [7] τολμάω, dare, endure. [8] ἀφόβως, fearlessly. [9] φθόνος, ου, ὁ, envy, grudge. [10] ἔρις, ιδος, ἡ, strife, contention. [11] εὐδοκία, ας, ἡ, good pleasure, good-will. [12] ἐριθεία, ας, ἡ, rivalry, ambition. [13] καταγγέλλω, proclaim, declare openly. [14] ἁγνῶς, purely, sincerely. [15] οἶμαι, think, suppose. [16] ἐπιφέρω, bring upon, inflict. [17] ἀπολογία, ας, ἡ, speech in defense, verbal defense. [18] κεῖμαι, lie, be laid. [19] τρόπος, ου, ὁ, manner, way. [20] πρόφασις, εως, ἡ, pretense, pretext. [21] ἀποβαίνω, get out, go away. [22] δέησις, εως, ἡ, entreaty, prayer. [23] ἐπιχορηγία, ας, ἡ, assistance, provision. [24] ἀποκαραδοκία, ας, ἡ, eager expectation. [25] αἰσχύνομαι, dishonor, put to shame. [26] μεγαλύνω, make or declare great, enlarge. [27] κέρδος, ους, τό, gain, profit.

τὸ ζῆν ἐν σαρκί, τοῦτό μοι καρπὸς ἔργου: καὶ τί αἱρήσομαι[1] οὐ
γνωρίζω.[2] Συνέχομαι[3] δὲ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ 23
ἀναλῦσαι[4] καὶ σὺν χριστῷ εἶναι, πολλῷ μᾶλλον κρεῖσσον:[5] τὸ δὲ 24
ἐπιμένειν[6] ἐν τῇ σαρκὶ ἀναγκαιότερον[7] δι᾽ ὑμᾶς. Καὶ τοῦτο πεποιθὼς 25
οἶδα ὅτι μενῶ, καὶ συμπαραμενῶ[8] πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν
προκοπὴν[9] καὶ χαρὰν τῆς πίστεως, ἵνα τὸ καύχημα[10] ὑμῶν 26
περισσεύῃ ἐν χριστῷ Ἰησοῦ ἐν ἐμοί, διὰ τῆς ἐμῆς παρουσίας[11] πάλιν
πρὸς ὑμᾶς. Μόνον ἀξίως[12] τοῦ εὐαγγελίου τοῦ χριστοῦ πολιτεύεσθε,[13] 27
ἵνα εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς, εἴτε ἀπών,[14] ἀκούσω τὰ περὶ ὑμῶν, ὅτι
στήκετε[15] ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ συναθλοῦντες[16] τῇ πίστει τοῦ
εὐαγγελίου, καὶ μὴ πτυρόμενοι[17] ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων:[18] 28
ἥτις αὐτοῖς μέν ἐστιν ἔνδειξις[19] ἀπωλείας,[20] ὑμῖν δὲ σωτηρίας, καὶ
τοῦτο ἀπὸ θεοῦ: ὅτι ὑμῖν ἐχαρίσθη[21] τὸ ὑπὲρ χριστοῦ, οὐ μόνον τὸ εἰς 29
αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν: τὸν αὐτὸν ἀγῶνα 30
ἔχοντες οἷον[23] εἴδετε ἐν ἐμοί, καὶ νῦν ἀκούετε ἐν ἐμοί.

Εἴ τις οὖν παράκλησις[24] ἐν χριστῷ, εἴ τι παραμύθιον[25] ἀγάπης, εἴ τις **2**
κοινωνία[26] πνεύματος, εἴ τις σπλάγχνα[27] καὶ οἰκτιρμοί,[28] πληρώσατέ 2
μου τὴν χαράν, ἵνα τὸ αὐτὸ φρονῆτε,[29] τὴν αὐτὴν ἀγάπην ἔχοντες,

[1] αἱρέω, choose, prefer. [2] γνωρίζω, make known, declare. [3] συνέχω, hold fast, oppress. [4] ἀναλύω, loose, depart. [5] κρείσσων, stronger, more excellent. [6] ἐπιμένω, continue, remain. [7] ἀναγκαῖος, necessary, essential. [8] συμπαραμένω, remain or continue together with. [9] προκοπή, ῆς, ἡ, progress, advancement. [10] καύχημα, τος, τό, boasting, ground of boasting. [11] παρουσία, ας, ἡ, presence, coming. [12] ἀξίως, worthily, in a manner worthy of. [13] πολιτεύομαι, live one's life, live as a citizen. [14] ἄπειμι, go away, depart. [15] στήκω, stand, stand fast. [16] συναθλέω, contend along with. [17] πτύρω, frighten, terrify. [18] ἀντίκειμαι, lie opposite, i.e. oppose. [19] ἔνδειξις, εως, ἡ, proof, sign. [20] ἀπώλεια, ας, ἡ, destruction, ruin. [21] χαρίζομαι, give freely, forgive. [22] ἀγών, ῶνος, ὁ, struggle, fight. [23] οἷος, such as, of what kind. [24] παράκλησις, εως, ἡ, exhortation, consolation. [25] παραμύθιον, ου, τό, consolation, encouragement. [26] κοινωνία, ας, ἡ, fellowship, contribution. [27] σπλάγχνα, ων, τά, bowels, compassion. [28] οἰκτιρμός, οῦ, ὁ, compassion, pity. [29] φρονέω, think, judge.

σύμψυχοι,[1] τὸ ἓν φρονοῦντες:[2] μηδὲν κατὰ ἐριθείαν[3] ἢ κενοδοξίαν,[4] 3
ἀλλὰ τῇ ταπεινοφροσύνῃ[5] ἀλλήλους ἡγούμενοι[6] ὑπερέχοντας[7]
ἑαυτῶν: μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε,[8] ἀλλὰ καὶ τὰ ἑτέρων 4
ἕκαστος. Τοῦτο γὰρ φρονείσθω[2] ἐν ὑμῖν ὃ καὶ ἐν χριστῷ Ἰησοῦ: ὃς ἐν 5
μορφῇ[9] θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν[10] ἡγήσατο[6] τὸ εἶναι ἴσα[11] θεῷ, 7
ἀλλ᾽ ἑαυτὸν ἐκένωσεν,[12] μορφὴν[9] δούλου λαβών, ἐν ὁμοιώματι[13]
ἀνθρώπων γενόμενος: καὶ σχήματι[14] εὑρεθεὶς ὡς ἄνθρωπος, 8
ἐταπείνωσεν[15] ἑαυτόν, γενόμενος ὑπήκοος[16] μέχρι[17] θανάτου, θανάτου
δὲ σταυροῦ.[18] Διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσεν,[19] καὶ ἐχαρίσατο[20] 9
αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα: ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ[21] 10
κάμψῃ[22] ἐπουρανίων[23] καὶ ἐπιγείων[24] καὶ καταχθονίων,[25] καὶ πᾶσα 11
γλῶσσα ἐξομολογήσηται[26] ὅτι κύριος Ἰησοῦς χριστός, εἰς δόξαν θεοῦ
πατρός.

Ὥστε, ἀγαπητοί μου, καθὼς πάντοτε ὑπηκούσατε,[27] μὴ ὡς ἐν τῇ 12
παρουσίᾳ[28] μου μόνον, ἀλλὰ νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ[29] μου,
μετὰ φόβου καὶ τρόμου[30] τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε:[31] ὁ 13
θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν[32] ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν[32]
ὑπὲρ τῆς εὐδοκίας.[33] Πάντα ποιεῖτε χωρὶς γογγυσμῶν[34] καὶ 14

[1] σύμψυχος, harmonious, in unity. [2] φρονέω, think, judge. [3] ἐριθεία, ας, ἡ, rivalry, ambition. [4] κενοδοξία, ας, ἡ, vanity, empty conceit. [5] ταπεινοφροσύνη, ης, ἡ, lowliness of mind, humility. [6] ἡγέομαι, lead, be chief. [7] ὑπερέχω, rise above, surpass. [8] σκοπέω, look at, contemplate. [9] μορφή, ῆς, ἡ, form, shape. [10] ἁρπαγμός, οῦ, ὁ, thing to be grasped, spoil. [11] ἴσος, equal, identical. [12] κενόω, empty, make void. [13] ὁμοίωμα, τος, τό, likeness, form. [14] σχῆμα, τος, τό, outward appearance, form. [15] ταπεινόω, humble, humiliate. [16] ὑπήκοος, obedient, listening to. [17] μέχρι, until, as far as (gen). [18] σταυρός, οῦ, ὁ, cross. [19] ὑπερυψόω, raise, exalt beyond measure. [20] χαρίζομαι, give freely, forgive. [21] γόνυ, ατος, τό, knee. [22] κάμπτω, bend, bow. [23] ἐπουράνιος, heavenly, celestial. [24] ἐπίγειος, of the earth, earthly. [25] καταχθόνιος, under the earth, subterranean. [26] ἐξομολογέω, confess, profess. [27] ὑπακούω, obey, listen. [28] παρουσία, ας, ἡ, presence, coming. [29] ἀπουσία, ας, ἡ, absence. [30] τρόμος, ου, ὁ, trembling, quaking. [31] κατεργάζομαι, work out, produce. [32] ἐνεργέω, work, effect. [33] εὐδοκία, ας, ἡ, good pleasure, good-will. [34] γογγυσμός, οῦ, ὁ, grumbling, murmuring.

διαλογισμῶν,[1] ἵνα γένησθε ἄμεμπτοι[2] καὶ ἀκέραιοι,[3] τέκνα θεοῦ 15
ἀμώμητα[4] ἐν μέσῳ γενεᾶς σκολιᾶς[5] καὶ διεστραμμένης,[6] ἐν οἷς
φαίνεσθε ὡς φωστῆρες[7] ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες,[8] εἰς 16
καύχημα[9] ἐμοὶ εἰς ἡμέραν χριστοῦ, ὅτι οὐκ εἰς κενὸν[10] ἔδραμον,[11] οὐδὲ
εἰς κενὸν[10] ἐκοπίασα.[12] Ἀλλʼ εἰ καὶ σπένδομαι[13] ἐπὶ τῇ θυσίᾳ[14] καὶ 17
λειτουργίᾳ[15] τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω[16] πᾶσιν ὑμῖν: τὸ 18
δʼ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ[16] μοι.

Ἐλπίζω δὲ ἐν κυρίῳ Ἰησοῦ, Τιμόθεον[17] ταχέως[18] πέμψαι ὑμῖν, ἵνα κἀγὼ 19
εὐψυχῶ,[19] γνοὺς τὰ περὶ ὑμῶν. Οὐδένα γὰρ ἔχω ἰσόψυχον,[20] ὅστις 20
γνησίως[21] τὰ περὶ ὑμῶν μεριμνήσει.[22] Οἱ πάντες γὰρ τὰ ἑαυτῶν 21
ζητοῦσιν, οὐ τὰ χριστοῦ Ἰησοῦ. Τὴν δὲ δοκιμὴν[23] αὐτοῦ γινώσκετε, 22
ὅτι ὡς πατρὶ τέκνον, σὺν ἐμοὶ ἐδούλευσεν[24] εἰς τὸ εὐαγγέλιον. 23
Τοῦτον μὲν οὖν ἐλπίζω πέμψαι, ὡς ἂν ἀπίδω[25] τὰ περὶ ἐμέ, ἐξαυτῆς:[26]
πέποιθα δὲ ἐν κυρίῳ, ὅτι καὶ αὐτὸς ταχέως[18] ἐλεύσομαι. Ἀναγκαῖον[27] 24
δὲ ἡγησάμην[28] Ἐπαφρόδιτον[29] τὸν ἀδελφὸν καὶ συνεργὸν[30] καὶ
συστρατιώτην[31] μου, ὑμῶν δὲ ἀπόστολον, καὶ λειτουργὸν[32] τῆς
χρείας μου, πέμψαι πρὸς ὑμᾶς: ἐπειδὴ[33] ἐπιποθῶν[34] ἦν πάντας ὑμᾶς, 26
καὶ ἀδημονῶν,[35] διότι[36] ἠκούσατε ὅτι ἠσθένησεν: καὶ γὰρ ἠσθένησεν 27

[1] διαλογισμός, οῦ, ὁ, reasoning, questioning. [2] ἄμεμπτος, blameless. [3] ἀκέραιος, unmixed, pure. [4] ἀμώμητος, blameless, without blame or fault. [5] σκολιός, crooked, unscrupulous. [6] διαστρέφω, distort, pervert. [7] φωστήρ, ῆρος, ὁ, star, light. [8] ἐπέχω, hold fast, hold toward. [9] καύχημα, τος, τό, boasting, ground of boasting. [10] κενός, empty, vain. [11] τρέχω, run, exercise myself. [12] κοπιάω, toil, labor. [13] σπένδω, pour out as a libation. [14] θυσία, ας, ἡ, sacrifice. [15] λειτουργία, ας, ἡ, service, ministry. [16] συγχαίρω, rejoice with. [17] Τιμόθεος, ου, ὁ, Timothy. [18] ταχέως, quickly, soon. [19] εὐψυχέω, be glad, have courage. [20] ἰσόψυχος, like-minded, of kindred spirit. [21] γνησίως, sincerely, genuinely. [22] μεριμνάω, be anxious, distracted. [23] δοκιμή, ῆς, ἡ, proof, approval. [24] δουλεύω, serve, am a slave. [25] ἀφοράω, fix one's eyes, see. [26] ἐξαυτῆς, at once, forthwith. [27] ἀναγκαῖος, necessary, essential. [28] ἡγέομαι, lead, be chief. [29] Ἐπαφρόδιτος, ου, ὁ, Epaphroditus. [30] συνεργός, οῦ, ὁ, fellow worker. [31] συστρατιώτης, ου, ὁ, fellow soldier. [32] λειτουργός, οῦ, ὁ, minister, servant. [33] ἐπειδή, since, because. [34] ἐπιποθέω, long for, strain after. [35] ἀδημονέω, distressed, troubled. [36] διότι, because, on this account.

παραπλήσιον[1] θανάτῳ, ἀλλὰ ὁ θεὸς αὐτὸν ἠλέησεν,[2] οὐκ αὐτὸν δὲ
μόνον, ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην[3] ἐπὶ λύπην[3] σχῶ. Σπουδαιοτέρως[4] 28
οὖν ἔπεμψα αὐτόν, ἵνα, ἰδόντες αὐτὸν πάλιν, χαρῆτε, κἀγὼ
ἀλυπότερος[5] ὦ. Προσδέχεσθε[6] οὖν αὐτὸν ἐν κυρίῳ μετὰ πάσης χαρᾶς, 29
καὶ τοὺς τοιούτους ἐντίμους[7] ἔχετε: ὅτι διὰ τὸ ἔργον τοῦ χριστοῦ 30
μέχρι[8] θανάτου ἤγγισεν, παραβουλευσάμενος[9] τῇ ψυχῇ, ἵνα
ἀναπληρώσῃ[10] τὸ ὑμῶν ὑστέρημα[11] τῆς πρός με λειτουργίας.[12]

Τὸ λοιπόν, ἀδελφοί μου, χαίρετε ἐν κυρίῳ. Τὰ αὐτὰ γράφειν ὑμῖν, ἐμοὶ **3**
μὲν οὐκ ὀκνηρόν,[13] ὑμῖν δὲ ἀσφαλές.[14] Βλέπετε τοὺς κύνας,[15] βλέπετε 2
τοὺς κακοὺς ἐργάτας,[16] βλέπετε τὴν κατατομήν:[17] ἡμεῖς γάρ ἐσμεν ἡ 3
περιτομή, οἱ πνεύματι θεοῦ λατρεύοντες,[18] καὶ καυχώμενοι ἐν
χριστῷ Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες: καίπερ[19] ἐγὼ ἔχων 4
πεποίθησιν[20] καὶ ἐν σαρκί: εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκί,
ἐγὼ μᾶλλον: περιτομὴ ὀκταήμερος,[21] ἐκ γένους[22] Ἰσραήλ, φυλῆς 5
Βενιαμίν,[23] Ἑβραῖος[24] ἐξ Ἑβραίων,[24] κατὰ νόμον Φαρισαῖος, κατὰ 6
ζῆλον[25] διώκων τὴν ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ
γενόμενος ἄμεμπτος.[26] Ἀλλ᾽ ἅτινα ἦν μοι κέρδη,[27] ταῦτα ἥγημαι[28] διὰ 7
τὸν χριστὸν ζημίαν.[29] Ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι[28] πάντα ζημίαν[29] 8
εἶναι διὰ τὸ ὑπερέχον[30] τῆς γνώσεως[31] χριστοῦ Ἰησοῦ τοῦ κυρίου μου:

[1] παραπλήσιον, near to, nearly. [2] ἐλεέω, have mercy, pity. [3] λύπη, ης, ἡ, pain, grief. [4] σπουδαιοτέρως, more earnestly, more carefully. [5] ἄλυπος, without pain. [6] προσδέχομαι, receive, wait for. [7] ἔντιμος, valued, precious. [8] μέχρι, until, as far as (gen). [9] παραβουλεύομαι, expose myself to danger, am reckless. [10] ἀναπληρόω, fill up, fulfill. [11] ὑστέρημα, τος, τό, that which is lacking, need. [12] λειτουργία, ας, ἡ, service, ministry. [13] ὀκνηρός, lazy, idle. [14] ἀσφαλής, certain, definite. [15] κύων, ος, ὁ, dog. [16] ἐργάτης, ου, ὁ, workman, laborer. [17] κατατομή, ῆς, ἡ, mutilation, cutting in pieces. [18] λατρεύω, serve, worship. [19] καίπερ, although. [20] πεποίθησις, εως, ἡ, confidence, trust. [21] ὀκταήμερος, on the eighth day. [22] γένος, ους, τό, race, kind. [23] Βενιαμίν, ὁ, Benjamin. [24] Ἑβραῖος, ου, ὁ, Hebrew. [25] ζῆλος, ου, ὁ, zeal, jealousy. [26] ἄμεμπτος, blameless. [27] κέρδος, ους, τό, gain, profit. [28] ἡγέομαι, lead, be chief. [29] ζημία, ας, ἡ, damage, loss. [30] ὑπερέχω, rise above, surpass. [31] γνῶσις, εως, ἡ, wisdom, knowledge.

δι’ ὃν τὰ πάντα ἐζημιώθην,[1] καὶ ἡγοῦμαι[2] σκύβαλα[3] εἶναι, ἵνα
χριστὸν κερδήσω,[4] καὶ εὑρεθῶ ἐν αὐτῷ, μὴ ἔχων ἐμὴν δικαιοσύνην 9
τὴν ἐκ νόμου, ἀλλὰ τὴν διὰ πίστεως χριστοῦ, τὴν ἐκ θεοῦ
δικαιοσύνην ἐπὶ τῇ πίστει: τοῦ γνῶναι αὐτὸν καὶ τὴν δύναμιν τῆς 10
ἀναστάσεως αὐτοῦ, καὶ τὴν κοινωνίαν[5] τῶν παθημάτων[6] αὐτοῦ,
συμμορφούμενος[7] τῷ θανάτῳ αὐτοῦ, εἴ πως καταντήσω[8] εἰς τὴν 11
ἐξανάστασιν[9] τῶν νεκρῶν. Οὐχ ὅτι ἤδη ἔλαβον, ἢ ἤδη τετελείωμαι:[10] 12
διώκω δέ, εἰ καὶ καταλάβω[11] ἐφ’ ᾧ καὶ κατελήφθην[11] ὑπὸ τοῦ
χριστοῦ Ἰησοῦ. Ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι:[11] 13
ἓν δέ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος,[12] τοῖς δὲ ἔμπροσθεν
ἐπεκτεινόμενος,[13] κατὰ σκοπὸν[14] διώκω ἐπὶ τὸ βραβεῖον[15] τῆς ἄνω[16] 14
κλήσεως[17] τοῦ θεοῦ ἐν χριστῷ Ἰησοῦ. Ὅσοι οὖν τέλειοι,[18] τοῦτο 15
φρονῶμεν:[19] καὶ εἴ τι ἑτέρως[20] φρονεῖτε,[19] καὶ τοῦτο ὁ θεὸς ὑμῖν
ἀποκαλύψει:[21] πλὴν εἰς ὃ ἐφθάσαμεν,[22] τῷ αὐτῷ στοιχεῖν[23] κανόνι,[24] 16
τὸ αὐτὸ φρονεῖν.[19]

Συμμιμηταί[25] μου γίνεσθε, ἀδελφοί, καὶ σκοπεῖτε[26] τοὺς οὕτως 17
περιπατοῦντας, καθὼς ἔχετε τύπον[27] ἡμᾶς. Πολλοὶ γὰρ 18
περιπατοῦσιν, οὓς πολλάκις[28] ἔλεγον ὑμῖν, νῦν δὲ καὶ κλαίων λέγω,
τοὺς ἐχθροὺς τοῦ σταυροῦ[29] τοῦ χριστοῦ: ὧν τὸ τέλος ἀπώλεια,[30] ὧν ὁ 19

[1] ζημιόω, suffer loss, inflict loss upon. [2] ἡγέομαι, lead, be chief. [3] σκύβαλον, ου, τό, refuse, garbage. [4] κερδαίνω, gain, win. [5] κοινωνία, ας, ἡ, fellowship, contribution. [6] πάθημα, τος, τό, suffering, passion. [7] συμμορφόω, bring to the same form with, conform. [8] καταντάω, come to, arrive. [9] ἐξανάστασις, εως, ἡ, resurrection. [10] τελειόω, fill, fulfill. [11] καταλαμβάνω, overtake, apprehend. [12] ἐπιλανθάνομαι, forget, neglect. [13] ἐπεκτείνομαι, stretch out, strain after. [14] σκοπός, οῦ, ὁ, goal, mark. [15] βραβεῖον, ου, τό, prize. [16] ἄνω, up, above. [17] κλῆσις, εως, ἡ, (divine) call, invitation. [18] τέλειος, complete, perfect. [19] φρονέω, think, judge. [20] ἑτέρως, differently, otherwise. [21] ἀποκαλύπτω, reveal, uncover. [22] φθάνω, come before another, anticipate. [23] στοιχέω, walk orderly, follow. [24] κανών, όνος, ὁ, rule, standard. [25] συμμιμητής, οῦ, ὁ, fellow imitator, joint imitator. [26] σκοπέω, look at, contemplate. [27] τύπος, ου, ὁ, mark, example. [28] πολλάκις, often, many times. [29] σταυρός, οῦ, ὁ, cross. [30] ἀπώλεια, ας, ἡ, destruction, ruin.

θεὸς ἡ κοιλία,[1] καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ[2] αὐτῶν, οἱ τὰ ἐπίγεια[3]
φρονοῦντες.[4] Ἡμῶν γὰρ τὸ πολίτευμα[5] ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ 20
καὶ σωτῆρα[6] ἀπεκδεχόμεθα,[7] κύριον Ἰησοῦν χριστόν: ὃς 21
μετασχηματίσει[8] τὸ σῶμα τῆς ταπεινώσεως[9] ἡμῶν, εἰς τὸ γενέσθαι
αὐτὸ σύμμορφον[10] τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν[11]
τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα.

Ὥστε, ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι,[12] χαρὰ καὶ στέφανός[13] **4**
μου, οὕτως[14] στήκετε[15] ἐν κυρίῳ, ἀγαπητοί.

Εὐοδίαν[16] παρακαλῶ, καὶ Συντύχην[17] παρακαλῶ, τὸ αὐτὸ φρονεῖν[4] ἐν 2
κυρίῳ. Ναί, ἐρωτῶ καί σε, σύζυγε[18] γνήσιε,[19] συλλαμβάνου[20] αὐταῖς, 3
αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν[21] μοι, μετὰ καὶ Κλήμεντος,[22]
καὶ τῶν λοιπῶν συνεργῶν[23] μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ[24] ζωῆς.

Χαίρετε ἐν κυρίῳ πάντοτε: πάλιν ἐρῶ, χαίρετε. Τὸ ἐπιεικὲς[25] ὑμῶν 4
γνωσθήτω πᾶσιν ἀνθρώποις. Ὁ κύριος ἐγγύς. Μηδὲν μεριμνᾶτε,[26] 6
ἀλλ᾽ ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει[27] μετὰ εὐχαριστίας[28] τὰ
αἰτήματα[29] ὑμῶν γνωριζέσθω[30] πρὸς τὸν θεόν. Καὶ ἡ εἰρήνη τοῦ θεοῦ 7
ἡ ὑπερέχουσα[31] πάντα νοῦν,[32] φρουρήσει[33] τὰς καρδίας ὑμῶν καὶ τὰ

[1] κοιλία, ας, ἡ, belly, womb. [2] αἰσχύνη, ης, ἡ, shame. [3] ἐπίγειος, of the earth, earthly. [4] φρονέω, think, judge. [5] πολίτευμα, τος, τό, commonwealth, state. [6] σωτήρ, ῆρος, ὁ, savior, deliverer. [7] ἀπεκδέχομαι, await eagerly, expect eagerly. [8] μετασχηματίζω, transform, disguise. [9] ταπείνωσις, εως, ἡ, humiliation, humble state. [10] σύμμορφος, similar in form, similar. [11] ἐνέργεια, ας, ἡ, operative power, working. [12] ἐπιπόθητος, longed for, desired. [13] στέφανος, ου, ὁ, crown, garland. [14] οὕτως, thus, so. [15] στήκω, stand, stand fast. [16] Εὐοδία, ας, ἡ, Euodia. [17] Συντύχη, ης, ἡ, Syntyche. [18] σύζυγος, ου, ὁ, comrade, fellow worker. [19] γνήσιος, genuine, true. [20] συλλαμβάνω, take, conceive. [21] συναθλέω, contend along with. [22] Κλήμης, εντος, ὁ, Clement. [23] συνεργός, οῦ, ὁ, fellow worker. [24] βίβλος, ου, ἡ, book, scroll. [25] ἐπιεικής, yielding, gentle. [26] μεριμνάω, be anxious, distracted. [27] δέησις, εως, ἡ, entreaty, prayer. [28] εὐχαριστία, ας, ἡ, thanksgiving, thankfulness. [29] αἴτημα, τος, τό, request, petition. [30] γνωρίζω, make known, declare. [31] ὑπερέχω, rise above, surpass. [32] νοῦς, ὁ, mind, reasoning faculty. [33] φρουρέω, guard, protect.

νοήματα[1] ὑμῶν ἐν χριστῷ Ἰησοῦ.

Τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν ἀληθῆ,[2] ὅσα σεμνά,[3] ὅσα δίκαια, ὅσα 8
ἁγνά,[4] ὅσα προσφιλῆ,[5] ὅσα εὔφημα,[6] εἴ τις ἀρετὴ[7] καὶ εἴ τις ἔπαινος,[8]
ταῦτα λογίζεσθε. Ἃ καὶ ἐμάθετε[9] καὶ παρελάβετε καὶ ἠκούσατε καὶ 9
εἴδετε ἐν ἐμοί, ταῦτα πράσσετε: καὶ ὁ θεὸς τῆς εἰρήνης ἔσται μεθʼ
ὑμῶν.

Ἐχάρην δὲ ἐν κυρίῳ μεγάλως,[10] ὅτι ἤδη ποτὲ[11] ἀνεθάλετε[12] τὸ ὑπὲρ ἐμοῦ 10
φρονεῖν:[13] ἐφʼ ᾧ καὶ ἐφρονεῖτε,[13] ἠκαιρεῖσθε[14] δέ. Οὐχ ὅτι καθʼ 11
ὑστέρησιν[15] λέγω: ἐγὼ γὰρ ἔμαθον,[9] ἐν οἷς εἰμί, αὐτάρκης[16] εἶναι. 12
Οἶδα καὶ ταπεινοῦσθαι,[17] οἶδα καὶ περισσεύειν: ἐν παντὶ καὶ ἐν πᾶσιν
μεμύημαι[18] καὶ χορτάζεσθαι[19] καὶ πεινᾷν,[20] καὶ περισσεύειν καὶ
ὑστερεῖσθαι.[21] Πάντα ἰσχύω[22] ἐν τῷ ἐνδυναμοῦντί[23] με χριστῷ. Πλὴν 13
καλῶς ἐποιήσατε συγκοινωνήσαντές[24] μου τῇ θλίψει. Οἴδατε δὲ καὶ 15
ὑμεῖς, Φιλιππήσιοι,[25] ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου, ὅτε ἐξῆλθον ἀπὸ
Μακεδονίας,[26] οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν[27] εἰς λόγον δόσεως
καὶ λήψεως,[29] εἰ μὴ ὑμεῖς μόνοι: ὅτι καὶ ἐν Θεσσαλονίκῃ[30] καὶ ἅπαξ[31] 16
καὶ δὶς[32] εἰς τὴν χρείαν μοι ἐπέμψατε. Οὐχ ὅτι ἐπιζητῶ[33] τὸ δόμα,[34] 17
ἀλλʼ ἐπιζητῶ[33] τὸν καρπὸν τὸν πλεονάζοντα[35] εἰς λόγον ὑμῶν. 18

[1] νόημα, τος, τό, thought, mind. [2] ἀληθής, true, unconcealed. [3] σεμνός, honorable, dignified. [4] ἁγνός, pure, holy. [5] προσφιλής, pleasing, agreeable. [6] εὔφημος, praiseworthy, commendable. [7] ἀρετή, ῆς, ἡ, virtue, moral excellence. [8] ἔπαινος, ου, ὁ, praise, commendation. [9] μανθάνω, learn, ascertain. [10] μεγάλως, greatly. [11] ποτέ, once, at some time. [12] ἀναθάλλω, grow up again, revive. [13] φρονέω, think, judge. [14] ἀκαιρέομαι, have no opportunity. [15] ὑστέρησις, εως, ἡ, need, want. [16] αὐτάρκης, content, self-sufficient. [17] ταπεινόω, humble, humiliate. [18] μυέω, initiate, instruct. [19] χορτάζω, eat until full, be filled. [20] πεινάω, hunger, am hungry. [21] ὑστερέω, lack, need. [22] ἰσχύω, be strong, able. [23] ἐνδυναμόω, strengthen, empower. [24] συγκοινωνέω, have fellowship with, participate. [25] Φιλιππήσιος, ου, ὁ, Philippian. [26] Μακεδονία, ας, ἡ, Macedonia. [27] κοινωνέω, have a share of, share. [28] δόσις, εως, ἡ, gift, giving. [29] λῆψις, εως, ἡ, receiving. [30] Θεσσαλονίκη, ης, ἡ, Thessalonica. [31] ἅπαξ, once, once for all. [32] δίς, twice. [33] ἐπιζητέω, seek for, seek after. [34] δόμα, τος, τό, present, gift. [35] πλεονάζω, superabound, make to abound.

Ἀπέχω[1] δὲ πάντα καὶ περισσεύω· πεπλήρωμαι, δεξάμενος παρὰ
Ἐπαφροδίτου[2] τὰ παρ᾽ ὑμῶν, ὀσμὴν[3] εὐωδίας,[4] θυσίαν[5] δεκτήν,[6]
εὐάρεστον[7] τῷ θεῷ. Ὁ δὲ θεός μου πληρώσει πᾶσαν χρείαν ὑμῶν 19
κατὰ τὸν πλοῦτον[8] αὐτοῦ ἐν δόξῃ, ἐν χριστῷ Ἰησοῦ. Τῷ δὲ θεῷ καὶ 20
πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀσπάσασθε πάντα ἅγιον ἐν χριστῷ Ἰησοῦ. Ἀσπάζονται ὑμᾶς οἱ σὺν 21
ἐμοὶ ἀδελφοί. Ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα[9] δὲ οἱ ἐκ 22
τῆς Καίσαρος[10] οἰκίας.

Ἡ χάρις τοῦ κυρίου Ἰησοῦ χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν. 23

[1] ἀπέχω, received, obtain. [2] Ἐπαφρόδιτος, ου, ὁ, Epaphroditus. [3] ὀσμή, ῆς, ἡ, smell, aroma. [4] εὐωδία, ας, ἡ, fragrance, sweet smell. [5] θυσία, ας, ἡ, sacrifice. [6] δεκτός, acceptable, welcome. [7] εὐάρεστος, well-pleasing, acceptable. [8] πλοῦτος, ου, ὁ, wealth, riches. [9] μάλιστα, especially, most of all. [10] Καῖσαρ, ος, ὁ, Caesar.